1 *καὶ κείμενα*] 'viell. *κατακείμενα*' H. Schöne || 2 *ἢ ἀνακλ.* B M *[ἀνα]κλωμένης*] *διακλωμένης* vermuthet Bartholinus S. 109 vielleicht richtig || 3 *κενὸν*] *τι ἐνὸν* B P, verbessert von H. Schöne; fehlt in M; das Folgende ist seinem Wortlaut nach schwerlich sicher herzustellen. Auf Grund des sehr ähnlichen Wortlautes der Euklidischen Katoptrik vermuthete Heiberg (Litterargesch. Stud. über Euklid S. 151 Anm.) eine Lücke hinter *ἀγγεῖον* || 4 *οὐχ ὁρᾶται*] *οὐχ ὁρατόν* B *ἑνορᾶσθαι* ohne *οὐκ* M || *ἐὰν ὕδωρ ἐγχ.*] *ὕδατος ἐγχεθέντος* P || für *ἐγχ.* in B *ἐσχεθῇ* || 5 *ὃ δὴ καὶ πρότερον* M || 5. 6 *οὐχ — δὴ*] *ὁρωμένης αὐτῆς* M || 7 *καὶ ὑπερκ.*] *καίπερ κειμένων* B || 8 *πρὸς αὐτὰ δηλονότι* B M || *τῶν* fehlt in M || *ἀκτίνων μέχρι καὶ τῶν ὁρωμένων τῆς φερομένης ὄψεως* B mit irrthümlicher Wiederholung aus dem Anfang des Capitels S. 12, 21 ff. || 8. 9 *τῆς* nach *ἀπὸ* fehlt in M || 9 *ὅθεν* fehlt in B M || *λέγειν γε ἔθος* B M || 10 *ὅσω* M || *ἀέρος καὶ* fehlt in P || 11 *ἰθυφάνειαν* Schneider Ecl. Ph. II 251 || *πᾶν* B M || 12 *ὕδατι* B M || 13 *μεθ' ὕδατος* M || 14 *δι' ἀφανῶν* M || 14. 15 *ταῦτα — καθορᾶσθαι*] *διὰ ἀφανῶν* (*δι' ἀφανῶν* M) *πᾶν ὁρᾶσθαι* B M Vat. 192 || 16 *ιγ'*] *ιβ'* B || *εὐθείαν* P B M; verbessert von H. Schöne || 17 *φορὰν ⟨καὶ διάκλασιν⟩* vermuthet ders. || *τὴν*] *τῇ* M || 17. 18 *πλεῖστον τὲ καὶ ἄχρονον αὐτῆς* M || *δὴ*] *δὲ* M ||

Die Dinge dagegen, die unter dem Wasser schwimmen oder auch liegen, sehen wir nur, indem der Sehstrahl in die Tiefen (des Wassers) vordringt, dabei aber durch dessen Widerstand gebrochen (abgelenkt) wird. So geschieht es, dass, wenn in ein leeres Gefäss ein Gegenstand so gelegt wird, dass er nicht zu sehen ist, er bei unverändertem Abstand sichtbar wird, sobald Wasser in das Gefäss gegossen wird, obgleich er vorher nicht zu sehen war. In dieser Weise sehen wir die unter Wasser befindlichen Gegenstände. Von denen aber, die sich ausserhalb und oberhalb des Wassers befinden, sehen wir nur gewisse Abbilder in ihm, indem offenbar die Sehstrahlen von der Oberfläche des Wassers aus auf diese Gegenstände zurückgeworfen werden. Daher denn auch die älteren Theoretiker zu sagen pflegen, dass, was wir durch die Luft und ohne dass der Sehstrahl bei seiner Fortbewegung gebrochen würde, sehen, dies Alles in gerader Ansicht gesehen wird, dass aber die Dinge, deren Abbilder wir in Gewässern oder überhaupt in einem Spiegel sehen, im Gegenbilde gesehen werden, dass aber endlich die Dinge, welche wir unter Wasser oder durch durchscheinende Gegenstände hindurch sehen, sämmtlich im Durchschein gesehen werden.

13. Die erwähnte geradlinige Fortbewegung des Sehstrahles und auch seine Zurückwerfung und ferner seine in grosse Entfernung reichende und zeitlos sich vollziehende Fortbewegung — dies Alles kann man auch an den Sonnen-

3 [Euclid.] catoptr. S.286, 17 Heib. *ἐὰν εἰς ἀγγεῖον ἐμβληθῇ τι καὶ λάβῃ ἀπόστημα ὡς μηκέτι ὁρᾶσθαι, τοῦ αὐτοῦ ἀποστήματος ὄντος ἐὰν ὕδωρ ἐγχυθῇ, ὀφθήσεται τὸ ἐμβληθέν.* Vergl. Olympiodor. zu Aristot. Meteor. Bd. II S.94 Id. (aus Archimedes); Seneca Quaest. nat. I 6, 5; Ptolem. Opt. ed. Govi S.143; Cleom. meteor. II 6 S.224, 12ff. Ziegl.

ὁρᾶν ἔξεστι καὶ ἐπὶ τῶν τοῦ ἡλίου ἀκτίνων συμβαίνοντα, ὡς κἀντεῦθεν βεβαιοῦσθαί πως τὰ κατ᾽ ἀρχὰς (c. 2) εἰρημένα ἡμῖν, ὅτι δὴ φῶς πρόεισιν ἀπὸ τῶν ἡμετέρων ὀμμάτων, εἴγε τὰ αὐτὰ πάθη ἐπί τε τῆς ἡμετέρας ὄψεως κἀπὶ τοῦ ἡλιακοῦ συμβαίνει φωτός. ὅσον μὲν γὰρ διάστημα τὸ ἡλιακὸν ἀποτείνεται φῶς, ἀρχόμενον μὲν ἀπ᾽ αὐτῆς τοῦ ἡλίου τῆς σφαίρας, προϊὸν δὲ μέχρι γῆς καὶ τῶν ταύτης μυχῶν, τοσοῦτον καὶ ἡ ἡμετέρα ὄψις προϊέναι δόξειεν, ὅτε γε πρὸς τὰ οὐράνια βλέπομεν. καὶ αὖ πάλιν ὥσπερ ἡ τῆς ἡμετέρας ὄψεως πρόοδος ἀχρόνως ἐπιτελεῖσθαι δοκεῖ, οὕτω καὶ ἡ τοῦ ἡλιακοῦ φωτὸς ἐπέκτασις ἀχρόνως γίνεσθαι δόξειεν. ὅνπερ γὰρ τρόπον νέφους ἐπιπροσθοῦντος ἡμῖν, εἶτα δὲ παραλλάξαντος αὐτίκα καὶ ἀχρόνως ἡμῖν δοκεῖ τὸ ἡλιακὸν φῶς ἐπιβάλλειν, οὕτως ἡμεῖς ἀναβλέψαντες μόνον εὐθὺς ἐπιβάλλομεν τὴν ὄψιν τοῖς οὐρανίοις. ἀλλὰ καὶ δι᾽ ὧν σωμάτων διακλωμένας τε καὶ φερομένας ὁρῶμεν τὰς ἀφ᾽ ἡλίου ἀκτῖνας, οἷον δι᾽ ὕδατος ἢ ὑέλου ἢ κέρατος βοὸς ἢ τῶν τοιούτων τινός, διὰ τούτων καὶ τὴν ἡμετέραν ὄψιν συμβαίνει χωρεῖν. καὶ ἀνακλᾶσθαι δὲ ἀπὸ τῶν αὐτῶν τό τε ἡλιακὸν φῶς καὶ τὴν ἡμετέραν ὄψιν συμβαίνει, καὶ πρὸς ἴσας γε τοῦτο πά[ρα]σχειν γωνίας. δῆλον δὲ τοῦτο ἐντεῦθεν· ἐὰν γὰρ ἀνακλάσεως οὔσης ἡλιακῶν ἀκτίνων ἀφ᾽ ὕδατος ἢ ὅλως ἀπό τινος τῶν ὅσα πυκνά ἐστι καὶ λεῖα, καταστήσωμεν οὕτω τὸ ἡμέτερον ὄμμα, ὡς εἶναι μὲν αὐτὸ ἐν ταῖς ἀνακλασθείσαις ἀκτῖσιν, ὁρᾶν δὲ πρὸς τὸν τοῦ ὕδατος τόπον, ἀφ᾽ οὗπερ ἀνεκλάσθησαν αἱ τοῦ ἡλίου ἀκτῖνες, ὀψόμεθα

4 *εἴγε*] man erwartet einen neuen Satz mit einer bekräftigenden Partikel als Einführung; s. die Übers. || *ταὐτὰ* B M || 5 *τοῦ*] *τινος* B || *συμβαίνει*] *β* aus *φ* corrigirt in M || *ὅσον*] *ὅς* B || *γὰρ*] *τὸ* B || 6 *ἡλιακὸν*] *ἐξ ὧν* B || *μὲν* fehlt in P || 8 *τοσοῦτον*] über dem *σ* steht *ο* in M, wohl *τόσον* in *τοσοῦτον* corrigirt || 9 *δόξαι ὅτανγε* M || *βλέπωμεν* B M || 11 *ἡ* fehlt in M || *ἐπέκτασιν* M || 12 *νέφους*] *ἔφη* B || 13 *καὶ* fehlt in M || 14 *τὸ* fehlt in M || 17 *δι᾽*] *δὴ* B || 18 das erste *ἢ* fehlt in B M || *βοὸς*] *γε* B M || 19 *συμβαίνειν* M || 21 *ἴσας*] *ὀρθάς* P || *τοῦτον* M || 22 *παρασχεῖν* P B M; verbessert von H. Schöne || 22. 23 *ἐὰν γὰρ ἀνακλάσεως γὰρ οὔσης* M || 24 *λίαν* M || 25 *αὐτὸ μὲν* M ||

10 ff. Lib. Ptolomei de speculis (Anecd. graeco-lat. ed. Rose II S. 319, 10) quod autem et radii emissi a nobis velocitate infinita ferantur, hinc est addiscere. quando enim post clausuram oculorum respexerimus ad coelum, non fit aliqua distantia temporis pertingentiae ipsorum ad coelum. simul enim cum aspicere videmus astra, cum tamen, ut est dictum, sit distantia infinita.

strahlen beobachten, so dass denn auch hierdurch unsere am Anfang ausgesprochene Behauptung bestätigt wird, dass von unseren Augen Licht ausstrahlt. In der That zeigen sich dieselben Erscheinungen sowohl an unseren Sehstrahlen als auch an dem Sonnenlicht. Denn die gleiche Entfernung, auf die sich das Sonnenlicht erstreckt, wenn es von der Sonnenkugel selbst ausgeht und bis zur Erde und ihren Tiefen vordringt, dürfte auch unser Sehstrahl zurückzulegen scheinen, wenn wir nach den Himmelserscheinungen blicken. Und wiederum dürfte, wie die Fortbewegung unseres Sehstrahls sich zeitlos zu vollziehen scheint, so auch die Ausbreitung des Sonnenlichtes zeitlos vor sich zu gehen scheinen. Denn wie wir das Gefühl haben, dass das Sonnenlicht, wenn eine Wolke es uns verdeckt und dann sich verzogen hat, uns sogleich und ohne zeitlichen Zwischenraum trifft, so treffen wir, wenn wir nur aufgeblickt haben, sofort mit unserem Sehstrahl die Himmelserscheinungen. Es vermag aber weiter unser Sehstrahl durch diejenigen Gegenstände, durch welche wir die Sonnenstrahlen hindurchdringen und sich fortbewegen sehen, wie durch Wasser oder Glas oder Ochsenhorn oder einen anderen ähnlichen Stoff, gleichfalls seinen Weg zu nehmen. Aber auch zurückgeworfen wird von denselben Gegenständen sowohl das Sonnenlicht als auch unser Sehstrahl, und zwar geschieht dies unter den gleichen Winkeln. Dies ergiebt sich aus folgender Beobachtung: wenn eine Zurückwerfung von Sonnenstrahlen von einer Wasserfläche oder überhaupt von einem Gegenstand mit dichter und glatter Oberfläche aus erfolgt und wir unser Auge so gestellt haben, dass es einerseits innerhalb der zurückgeworfenen Strahlen sich befindet, andererseits nach der Stelle des Wassers sieht, von welcher aus die Sonnenstrahlen zu-

---

22 *ἐὰν γὰρ κτέ*] Eine ähnliche Darlegung bei Olympiodor. zu Aristot. Meteorol. vol. II S. 95 f. Id., die aber auf einen Beweis dafür hinausläuft, dass die Reflexion unter gleichen Winkeln erfolgt, während Damianos hier sich auf den Nachweis beschränkt, dass bei der Brechung des Sehstrahls und des Sonnenstrahls sich dieselben Winkel bilden.

24 Plat. Resp. VI 510 A *λέγω δὲ τὰς εἰκόνας πρῶτον μὲν τὰς σκιάς, ἔπειτα τὰ ἐν τοῖς ὕδασι φαντάσματα καὶ ἐν τοῖς ὅσα πυκνά τε καὶ λεῖα καὶ φανὰ ξυνέστηκε καὶ πᾶν τὸ τοιοῦτον.*

ὡς ἐν κατόπτρῳ τῷ ὕδατι τὸν ἡλιακὸν κύκλον, ἐφαρμοζουσῶν δηλονότι τῶν τῆς ἡμετέρας ὄψεως ἀκτίνων ταῖς τοῦ ἡλίου ἀκτῖσι διὰ τὸ πρὸς ἴσας τε καὶ αὐτὰς ἀνακλᾶσθαι γωνίας. καὶ ἡ ἀνάκλασις δὲ, ὡς ὕστερον ἀποδείξομεν (c. 14, S. 22, 2 ff.), ὁμοίως φαίνεται γινομένη ἐπί τε τῆς ἡμετέρας ὄψεως κἀπὶ τῶν ἡλιακῶν ἀκτίνων. ἀλλὰ καὶ τὸ χρώννυσθαί πως ἀπὸ τούτων, πρὸς ἅπερ ἀνακλῶνται ἢ διακλῶνται, συμβαίνει μὲν τῷ τοῦ ἡλίου φωτί, συμβαίνει δὲ καὶ τῇ ἡμετέρᾳ ὄψει, ὥστ᾽ ἐπιφαίνεσθαι ὁμοίως τοῖς οὕτω μὲν ὑφ᾽ ἡμῶν ὁρωμένοις, οὕτω δὲ ὑφ᾽ ἡλίου καταλαμπομένοις. εἰ γὰρ ἀνίσχων ὁ ἥλιος ἢ δυόμενος διά τινος ἐρυθροῦ διαλάμπει νέφους, ὁρᾶν ἔστιν ἅπαντα φοινικᾶ, καὶ γῆν καὶ θάλατταν καὶ ἁπλῶς ὅσα ἂν καταλάμπῃ. τούτοις δὴ παραπλήσια καὶ περὶ τὴν ἡμετέραν ὄψιν ἔστι θεωρῆσαι. ὁποῖον γὰρ ἂν τύχοι τὸ τοῦ διαφανοῦς χρῶμα, τοιουτόχρουν καὶ τὸ δι᾽ αὐτοῦ φαινόμενον δόξειεν ἂν ὁρᾶν. καὶ αὖ πάλιν εἴ τις λαβὼν ἔνοπτρον ὁποιονοῦν τῷ χρώματι πρὸς αὐτὸ θεωροῖ, πάντα τὰ ἐν αὐτῷ ἐμφαινόμενα ὁμόχροα τῷ ἐνόπτρῳ φανεῖται, τῆς ὄψεως δηλονότι πρὸς τὰ ὁρώμενα ἀνακλωμένης καὶ τὸ τοῦ ἐνόπτρου χρῶμα ἐπιφερούσης αὐτοῖς. ταῦτα δὲ συμβαίνειν φαμὲν ἐπί τε τῆς ἡμετέρας ὄψεως καὶ ἐπὶ τῶν ἡλιακῶν ἀκτίνων. ἐὰν δὲ ἀνάκλασις ἀπ᾽ ἀργυρῶν τινων γίνηται τῶν ἐνόπτρων ἢ ἀπὸ καθαρῶν καὶ ἠρεμούντων ὑδάτων, οὐδὲν ἀποφέρεται χρῶμα οὔτε τὸ ἡλιακὸν φῶς οὔθ᾽ ἡ ἡμετέρα ὄψις, ὡς ἂν ἀχρουστέρων πως ὄντων. διὸ καὶ τοιαῦτα εἶναι τὰ χρώματα δοκεῖ, οἷαι ἂν αἱ ἀπὸ τοιού-

1. 2 *ἐφορμουσῶν* M || 2 *ἡμετέρας* fehlt in B || 2. 3 *ταῖς τοῦ* bis Z. 6 *ἀκτίνων* in P am Rand von derselben Hand nachgetragen || 3 *ἴσας*] *ὀρθάς* P || *τε*] *γε* H. Schöne; oder zu streichen || *καὶ τὰς αὐτὰς* M || 5 *ὁμοία* B || *γενομένη* M || 7 *χρωννύσθαι πῶς* M || *ἅπερ*] *οἷς* M || 9 *ὥστε* M || *ἀποφαίνεσθαι* B *ἐπιφέρεσθαί πως* (für *ἐπιφ. ὁμ.*) M || 11 *εἰ γὰρ ἀνίσχων*] *ἴσχων* M || 12 *διαλάμπειν* B M || *νέφους*] *ἔφη* B || 13 *καταλαμποι* P || 14 *δὲ*] *δὴ* M || *περὶ*] *παρὰ* P M || 14. 15 *ὄψιν ἔστι θ.*] *αἴσθησιν θεωρήσειέν τις* (*τις* aus *τε* corrigirt) M || 15 *γὰρ* fehlt in M || 16 *τοσουτόχρουν αὐτὸ κατὰ τὸ* M || *ὁρᾶσθαι δόξειεν ἄν* M || 18 *θεωρῇ* B *θεωρείη* M || 19 *ὁμόχροια* M || 21 *αὐτῆς* B M || *δὲ* fehlt in B || 23 *ἐὰν δὲ*] *μήτε* M || 23. 24 *τινων — καθαρῶν* fehlt in M || *γίνεται ἐνόπτρων* P || 24. 25 *ὑδάτων γίνεται ἡ διάκλασις· ἀπὸ γὰρ δὴ τῶν τοιούτων οὐδὲν* M || 25 *ἡ* fehlt in M || 26 *ὡς ἀνα χρωστέρων πῶς* M || 26. 27 *καὶ τὰ τοιαῦτα* M || 27 *δοκεῖ ἥ αἷς ἂν ἀπὸ* M *αἱ* vor *ἀπὸ* fehlt auch in B; den Sinn, den der Zusammenhang fordert, sucht die Übersetzung wiederzugeben; der griechische Wortlaut bleibt weifelhaft, vielleicht: *δοκεῖ ⟨τῶν⟩ οἷς ἂν?* || *ἀπὸ τούτων* B ||

rückgeworfen werden, so werden wir im Wasser wie in einem Spiegel die Sonnenscheibe erblicken, indem offenbar unsere Sehstrahlen mit den Sonnenstrahlen dadurch zusammenfallen, dass auch sie unter den gleichen Winkeln zurückgeworfen werden. Auch die Reflexion aber scheint, wie wir später zeigen werden, sowohl bei unserem Sehstrahl als auch bei den Sonnenstrahlen nach dem gleichen Gesetze zu geschehen. Aber auch die weitere Erscheinung zeigt sich sowohl bei dem Sonnenlicht als auch bei unserem Sehstrahl, dass beide von denjenigen Gegenständen, von denen sie zurückgeworfen werden oder die sie durchdringen, eine Färbung annehmen, so dass (diese) in gleicher Weise an den Gegenständen zur Erscheinung kommt, welche von uns so gesehen und von der Sonne so bestrahlt werden. Denn wenn die Sonne beim Aufgang oder Untergang durch eine rothe Wolke hindurchleuchtet, so kann man Alles purpurn sehen, die Erde, das Meer und überhaupt Alles, was sie bestrahlt. Ganz Ähnliches kann man aber auch an unserem Auge beobachten. Denn die Farbe, welche zufällig das durchsichtige Medium (durch das es hindurchsieht) zeigt, wird es auch an dem durch dasselbe durchscheinenden Gegenstand zu sehen glauben. Und wiederum wenn Jemand einen Spiegel von beliebiger Farbe nimmt und hineinsieht, so wird Alles, was darin zur Erscheinung kommt, dieselbe Farbe wie der Spiegel zeigen, indem offenbar der Sehstrahl auf die gesehenen Gegenstände (von der Spiegelfläche aus) zurückgeworfen wird und sie mit der Farbe des Spiegels überzieht. Dies aber geschieht, wie wir behaupten, sowohl bei unserem Sehstrahl als auch bei den Sonnenstrahlen. Wenn aber die Zurückwerfung von silbernen Spiegeln erfolgt oder von reinen, ruhigen Wasserflächen, so erfährt weder das Sonnenlicht noch unser Sehstrahl eine Färbung, da dies Alles nahezu farblos ist. Daher erscheinen auch die Farben derjenigen Objecte, auf welche die von solchen Gegenständen zurück-

των ἢ διὰ τοιούτων κλώμεναι ἀκτῖνες προσβάλλωσιν, ὁποῖα ἂν καὶ κατ' ἀλήθειαν ὑπάρχοι. ἐξ ἁπάντων δὴ τούτων οὐκ ἔστιν ὅστις οἶμαι αἰσχυνθείη λέγων φῶς τι ἀπὸ τῶν ἡμετέρων ὀμμάτων προϊέναι, οὕτως ἄφθονον τὴν πρὸς ἥλιον ὁμοιότητα τῆς ἡμετέρας ὄψεως θεωρήσας. Πλάτων δὲ ὁ μέγας (de rep. 508 A) *καὶ ἡλιοειδέστατον ἔφατο εἶναι τὴν ὄψιν τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων.*

ιδ'. ἔτι δὲ εἰδέναι δεῖ ὅτι αἱ ἀνακλάσεις αὗται καὶ διακλάσεις τῆς ὄψεως οὐκ ἀτάκτως ἐπιτελοῦνται. πρὸς γὰρ ἴσας γίνονται γωνίας ἀεί, αἷ δὴ καὶ συνίστανται πρὸς ἐκεῖνο, ἀφ' οὗπερ ἀνακλῶνται ἢ διακλῶνται αἱ τῆς ὄψεως τῆς ἡμετέρας ἀκτῖνες. ἀπέδειξε γὰρ ὁ μηχανικὸς Ἥρων ἐν τοῖς αὐτοῦ κατοπτρικοῖς, ὅτι αἱ πρὸς ἴσας γωνίας κλώμεναι εὐθεῖαι ἐλάχισταί εἰσι τῶν μέσων τῶν ἀπὸ τῆς αὐτῆς καὶ ὁμοιομεροῦς γραμμῆς πρὸς τὰ αὐτὰ κλωμένων πρὸς ἀνίσους γωνίας. τοῦτο δὲ ἀποδείξας φησὶν ὅτι εἰ μὴ μέλλοι ἡ φύσις μάτην περιάγειν τὴν ἡμετέραν ὄψιν, πρὸς ἴσας αὐτὴν ἀνακλάσει γωνίας. ὁμοίως δὲ δειχθήσεται, ὅτι καὶ

1 *ἢ διὰ τοιούτων* fehlt in M || *ἀκτίνες* M || *προσβάλλουσιν* M || 2 *ὑπάρχει* B || *ὑπάρχειν* (*ν* aus *α* corrigirt) M || 3 *λέγειν* B || 6 *ἡλιοειδεστάτην* P *ἡλιοδέστατον* B M || *εἶναι* fehlt in B || 7 *ὀργάνων*] *ὁρᾶν* M || 8 *ιδ'*] so M; *ιγ* B; fehlt in P || *ἔτι δὲ* fehlt in B M || *δεῖ* fehlt in M || 10 *γωνίαι αἰεί* M || 11 *καὶ ἀνακλ.* B M || 11. 12 *αἱ τῆς ὄψεως—ἀκτῖνες* fehlt in P B || 14 *ἐλάχισται*] es wird entweder hier *ἐλάσσονες* zu schreiben und eine Verwechselung der sehr ähnlichen Compendien für beide Wörter anzunehmen, oder Z. 15 f. *πρὸς ἀνίσους γωνίας* zu streichen sein || *τῶν* fehlt in M || 15 *γραμμεῖς* (?) M || 18 *ἀνακλάσεις* M ||

5 Plato Resp. VI 508 A *οὐκ ἔστιν ἥλιος ἡ ὄψις οὔτε αὐτὴ οὔτ' ἐν ᾧ ἐγγίγνεται, ὃ δὴ καλοῦμεν ὄμμα. Οὐ γὰρ οὖν. Ἀλλ' ἡλιοειδέστατόν γε οἶμαι τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων*, vergl. 509 A; Plotin. Ennead. I 6, 9 *οὐ γὰρ ἂν πώποτε εἶδεν ὀφθαλμὸς ἥλιον ἡλιοειδὴς μὴ γεγενημένος*; Goethe Gedichte III S. 149 Loep. Wär' nicht das Auge sonnenhaft, die Sonne könnt' es nie erblicken.

9 ff. Liber Ptolomei de speculis (Anecd. graeco-lat. ed. Rose II S. 320, 20) quoniam et refractiones faciant (sc. radii) in angulis aequalibus in speculis planis et circularibus per eadem demonstrabimus, celeritate enim incidentiae et refractionis. necessarium est enim rursum per ipsas minimas rectas conari. dico igitur quod omnium incidentium et refractorum in idem radiorum minimi sunt qui secundum aequales angulos in speculis planis et circularibus; si autem hoc, rationabiliter in angulis aequalibus refringuntur. Es folgt der geometrische Beweis für ebene und concave Spiegel. Olympiodor. zu Aristot. Meteorol. vol. II S. 96 Id. *ἐπειδὴ γὰρ τοῦτο ὡμολογημένον ἐστὶ παρὰ πᾶσιν ὅτι οὐδὲν μάτην ἐργάζεται ἡ φύσις οὐδὲ ματαιοποιεῖ,*

geworfenen oder durch solche Gegenstände hindurchgehenden Strahlen treffen, so wie sie wohl auch in Wirklichkeit sein werden. Nach diesem Allem wird es, denke ich, Niemand geben, der sich der Behauptung, dass ein gewisses Licht von unseren Augen ausgehe, schämte, wenn er Einsicht in die so sehr grosse Verwandtschaft unseres Gesichtes mit der Sonne gewonnen hat. Der grosse Platon aber hat das Gesicht sogar das sonnenhafteste unter den Sinneswerkzeugen genannt.

14. Noch aber muss man wissen, dass diese Erscheinungen der Reflexion und Refraction unseres Sehstrahls sich nicht ohne bestimmtes Gesetz vollziehen. Denn Beides erfolgt immer unter zwei gleichen Winkeln, welche sich an der Oberfläche des Gegenstandes bilden, von dem aus unsere Sehstrahlen zurückgeworfen werden oder den sie unter Veränderung ihrer Richtung durchdringen. Denn der Mechaniker Heron hat in seiner Katoptrik nachgewiesen, dass die unter Bildung zweier gleicher Winkel sich brechenden Geraden kürzer sind als diejenigen, welche sich an derselben, in allen ihren Theilen gleichmässig bewegten Linie in der Richtung auf die gleichen Endpunkte unter ungleichen Winkeln brechen. Nachdem er dies aber nachgewiesen hat, sagt er, dass, wenn die Natur unseren Sehstrahl nicht vergeblich umherschweifen lassen wolle, sie ihn sich in gleichen Winkeln brechen lassen

ἐὰν μὴ δώσωμεν πρὸς ἴσας γωνίας γίνεσθαι τὴν ἀνάκλασιν, πρὸς ἀνίσους ματαιοποιεῖ ἡ φύσις καὶ ἀντὶ τοῦ διὰ βραχέος περιόδου φθάσαι τὸ ὁρώμενον τὴν ὄψιν, διὰ μακρᾶς περιόδου τοῦτο φανήσεται καταλαμβάνουσα. εὑρεθήσονται γὰρ αἱ τὰς ἀνίσους γωνίας περιέχουσαι εὐθεῖαι, αἵτινες ἀπὸ τῆς ὄψεως [περιέχουσαι] φέρονται (φερομένας Ald. Id.) *πρὸς (περὶ* Ald. Id.) *τὸ κάτοπτρον κἀκεῖθεν πρὸς (περὶ* Ald. Id.) *τὸ ὁρώμενον, μείζονες οὖσαι τῶν τὰς ἴσας γωνίας περιεχουσῶν εὐθειῶν.* Hierauf folgt derselbe Beweis wie im liber Ptolomei in ausführlicherer Fassung, aber nur für ebene Spiegel.

15 Proclus ad Eucl. S. 201, 21 Friedl. ... *ὅταν ζητῇ* (sc. *ἡ γεωμετρία*) *τίς ἡ ὁμοιομερής ἐστι γραμμή. τοῦτο γὰρ ζητοῦσα ἢ τὸν ὅρον εὑρεῖν ἐθέλει τῆς τοιαύτης γραμμῆς, ὅτι ὁμοιομερής ἐστι γραμμὴ ἡ πάντα τὰ μόρια πᾶσιν ἐφαρμόζοντα ἔχουσα, ἢ αὐτὰ τὰ εἴδη τῶν ὁμοιομερῶν γραμμῶν λαβεῖν, οἷον ὅτι ἡ εὐθεῖά ἐστιν ἢ περιφερὴς ἢ περὶ κύλινδρον ἕλιξ.* Vergl. S. 251, 8 *ὁ Γεμῖνος ... δείκνυσιν ὅτι μόναι τρεῖς εἰσι γραμμαὶ καὶ οὐ πλείους αἱ ὁμοιομερεῖς· εὐθεῖα καὶ περιφερὴς καὶ ἡ περὶ κύλινδρον ἕλιξ* (ähnlich S. 112, 19 ff.).

18 *ὁμοίως δὲ κτέ*] Dieser wunderliche Irrthum ist keinesfalls Heron zuzutrauen. Bei Olympiodor a. a. O. S. 98 schliesst sich an den Beweis für die Gleichheit der Reflexionswinkel der Nachweis *πῶς ἡ διάκλασις κατὰ ἀμβλείας γίνεται γωνίας.* Viel eingehender hat Ptolemaios die Erscheinungen der Refraction behandelt.

ἡ διάκλασις τῆς ὄψεως τῆς ἡμετέρας πρὸς ἴσας ἐπιτελεῖται γωνίας. ἐκ δὲ τούτου φανερόν, ὡς καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες πρὸς ἴσας κλῶνται γωνίας· οὐ γάρ που τῇ ἡμετέρᾳ ὄψει ἐν ἰσότητι τοῦτο συμβαίνειν δεῖ λέγειν, ταῖς δὲ τοῦ ἡλίου ἀκτῖσι κατὰ τὸ ἄνισον καὶ ἄτακτον. ἀπεδείξαμεν δὲ κἀν τοῖς ἔμπροσθεν (c. 13) ἐπί γε τῶν ἀνακλάσεων ἴσας συνίστασθαι γωνίας ὑπὸ τῶν ἠλακῶν ἀκτίνων ταῖς τῆς ἡμετέρας ὄψεως, ἥτις ἀποδέδεικται πρὸς ἴσας κλᾶσθαι γωνίας.

Auszüge aus Geminos

Ὅτι αἱ πρὸς ὄμμα τε καὶ ὀρθογώνιοι στοαὶ πόρρωθεν μείουροι φαίνονται, καὶ τῶν πύργων οἱ τετράγωνοι στρογγύλοι καὶ προσπίπτοντες πόρρωθεν ὁρώμενοι, ἄνισα δὲ τὰ ἴσα φατνώματα παρὰ τὰς θέσεις καὶ τὰ μήκη.

ὅτι ὑποτίθεται ἡ ὀπτικὴ τὰς ἀπὸ τοῦ ὄμματος ὄψεις κατ' εὐθείας γραμμὰς φέρεσθαι καὶ τοῦ ὄμματος συμπεριφερομένου συμπεριφέρεσθαι καὶ τὰς ὄψεις καὶ ἅμα τῷ ὄμματι διανοιγομένῳ πρὸς τὸ ὁρώμενον τὰς ὄψεις γίνεσθαι.

2 τούτων φανερῶς καὶ M || 2. 3 ἐκ δὲ bis γωνίας fehlt in B; in P sind die Worte von derselben Hand am Rand nachgetragen || 3. 4 τὴν ἡμετέραν ὄψιν B M || 4 τούτω B τούτων M || δεῖ λέγειν fehlt in M || 5 ἀκτίσι M || 6 γε] τε M || 8 τῆς fehlt in M || ἡμετέραις M || 9 Am Ende steht in P: ταῦτα ἦν πρὸ τῶν ὀπτικῶν εὐκλείδου κείμενα, vergl. zu Z. 14.

10—13 fehlt in A; vergl. zu S. 26, 4 || 10 προσματέ oder προσματέ oder προσματι H || ὀρθογωνίαι H || 11 μύουροι H^b || '(qua re) et turres quadratae rotundam formam referant labique eminus videantur quae recte stant'. Dasyp. || 13 Trägt man Bedenken, unter τὰ μήκη, wie in der Übersetzung angenommen, den Abstand vom Beschauer zu verstehen (vergl. ἐξ ὄψεως μήκους Xen. Cyrop. IV 3, 16), so wäre etwa κατὰ τὰ πλάτη hinter θέσεις einzusetzen || 14 In A^P steht vor dem Folgenden: ταῦτα ἦν πρὸ τῶν ὀπτικῶν εὐκλείδου κείμενα, s. oben zu Z. 9; in A^{dfm} als Überschrift ἀνεπίγραφον || 14. 15 ὄψεις — τοῦ ὄμματος fehlt in H und bei Dasyp. (dass in H^b auch ἀπὸ τοῦ ὄμματος vor ὄψεις fehle, wie Hultsch angiebt, ist ein Irrthum) || 15. 16 συμπεριφ.] so H^{bm} A^{pb} περιφερομένα H^{cf} A^{df} || 17 διανοιγ.] δὲ ἀνοιγομένῳ J. G. Schneider

werde. In derselben Weise aber wird sich zeigen lassen, dass, wenn unser Sehstrahl durch einen Gegenstand hindurchgeht und dabei seine Richtung ändert, dies unter Bildung von gleichen Winkeln geschieht. Hiernach aber ist offenbar, dass auch bei den Sonnenstrahlen die Brechung unter gleichen Winkeln erfolgt. Denn man darf nicht behaupten, dass dies bei unserem Sehstrahl nach dem Princip der Gleichheit, bei den Sonnenstrahlen aber nach dem Princip der Ungleichheit und Regellosigkeit geschehe. Auch haben wir im Vorhergehenden nachgewiesen, dass wenigstens bei der Reflexion von den Sonnenstrahlen dieselben Winkel gebildet werden wie von unseren Sehstrahlen, von denen erwiesen ist, dass sie sich unter Bildung von gleichen Winkeln brechen.

Auszüge aus Geminos

Die auf das Auge zu laufenden, rechtwinkligen Säulenhallen erscheinen, aus der Ferne betrachtet, nach hinten zu verjüngt, und die viereckigen Thürme, aus der Ferne gesehen, rund und nach vorn über geneigt(?) und die unter einander gleichen Cassetten ungleich, je nach ihrer Lage und ihren Abständen (vom Beobachter).

Die Optik setzt voraus, dass die vom Auge ausgehenden Sehstrahlen sich in geraden Linien bewegen und dass, wenn das Auge sich hin- und herbewegt, die Sehstrahlen dieser Bewegung folgen, sowie dass in dem Augenblick, wo das Auge sich öffnet, gleichzeitig auch die Sehstrahlen auf den gesehenen Gegenstand treffen. Unter einem anderen Gesichtspunkt

10 *αἱ — στοαί*] Was gemeint ist, zeigen Lucret. IV 426—431; Sext. Emp. S. 28, 3—5; 244, 9 Bkk.; Tertullian. de anima 17 S. 323, 17, 324, 19 Reiff.; Chalcidius zu Plat. Tim. c. 237 S. 272, 24 Wrob. (wo für ex obliquo wohl zu lesen ist ex longinquo). Vergl. Seneca Q. nat. 3, 9.

11 *τῶν πύργων οἱ τετράγωνοι*] Die Beobachtung kehrt oft wieder. Lucret. IV 353—359, 501 f.; Plut. adv. Col. 25 S. 1121 A; Sext. Emp. S. 28, 7 f.; 336, 28 f. Bkk.; Tertullian. de anima 17 S. 323, 16, 324, 3. 16 ff. Reiff.; Chalcidius zu Plat. Tim. c. 237 S. 272, 22 ff. Wrob.; Petron. fragm. 29; Joh. Chrysost. Hom. VII in Pauli ep. I ad Cor. 5 vol. X S. 61ª Migne. Vergl. Usener Epicurea S. 185 Nr. 252. Eine ähnliche Beobachtung über viereckige Flächen Aristot. Probl. XV 6 S. 911, 13 Bkk.; Euclid. opt. 9. Vergl. Diog. Laert. IX 85 *τὰ τετράγωνα στρογγύλα* (*φαίνεται*) und die zu S. 262, angeführte Proklosstelle.

καὶ καθ' ἕτερον δὲ τρόπον ὑποτίθεται τὰ μὲν δι' αἰθέρος καὶ ἀέρος ὁρώμενα κατ' εὐθείας γραμμὰς ὁρᾶσθαι· φέρεσθαι γὰρ πᾶν φῶς κατ' εὐθείας γραμμάς· ὅσα δὲ διαφαίνεται δι' ὑέλων ἢ ὑμένων ἢ ὕδατος, κατὰ κεκλασμένας· τὰ δὲ ἐμφαινόμενα ἐν τοῖς κατοπτρίζουσι κατὰ ἀνακλωμένας γωνίας.

ὅτι οὔτε φυσιολογεῖ ἡ ὀπτικὴ οὔτε ζητεῖ, εἴτε ἀπόρροιαί τινες ἐπὶ τὰ πέρατα τῶν σωμάτων φέρονται ἀπὸ τῶν ὄψεων ἀκτίνων ἐκχεομένων, εἴτε ἀπορρέοντα εἴδωλα ἀπὸ τῶν αἰσθητῶν εἴσω τῶν ὄψεων εἰσδύεται κατὰ στάθμην ἐνεχθέντα, εἴτε συνεκτείνεται ἢ συμφέρεται ὁ μεταξὺ ἀὴρ τῷ τῆς ὄψεως αὐγοειδεῖ πνεύματι. μόνον δὲ σκοπεῖ εἰ σώζεται καθ' ἑκάστην ὑπόθεσιν ἡ ἰθυτένεια τῆς φορᾶς ἢ τάσεως καὶ τὸ κατὰ τὴν συναγωγὴν εἰς γωνίαν τὴν σύννευσιν γίνεσθαι, ἐπειδὰν μειζόνων ἢ ἐλαττόνων ὄψεως ᾖ θεωρία. προηγουμένως τε σκέπτεται ὡς ἀπὸ παντὸς τῆς κόρης ἢ τοῦ ὁρωμένου μέρους ἡ ὄψις ἐγγίνεται, οὐχὶ δὲ ἀπό τινος ὡρισμένου σημείου, καὶ ὅτι κατὰ γωνίαν ὁτὲ μὲν εἴσω νενευκυῖαν, ὁτὲ δὲ ἔξω κορυφουμένην, ὁτὲ δὲ κατὰ παραλλήλους.

1 δὲ fehlt in A ‖ 3 γὰρ ἂν πᾶν A^d ‖ 4 δι' ὑμένων καὶ ὑέλλων A^r ‖ ὑλίων oder ὑμίων A (ausser A^p) ‖ 'per corpora diaphana ut vitra et flumina aut aquam' Dasyp. ‖ 5 φαινόμενα oder φανόμενα H ‖ 6 γωνίας] zu streichen oder vorher Lücke ‖ 7 εἴτε] εἰ A^p ‖ 8 τὰ πέρα φέροντες σώματα H 'defluxiones ad corpora defluentes' Dasyp. ‖ φέρεται A (aber A^p φέρονται) ‖ 8. 9 τῶν ὀπτικῶν ohne ἀπὸ A ‖ 9 οὔτε εἰ A H^f ‖ 10 κατὰ fehlt in H^b ‖ 11 οὔτε εἰ A H^f ‖ συνστρέφεται oder συντρέφεται H 'simul nutriatur' Dasyp. ‖ ἀὴρ] ἐπὶ A^{df} ‖ 12 τῷ τῆς ὄ. — πν. von Dasyp. nicht übersetzt ‖ 12 πνεύματι] πυραμίδι Bartholin., wie es scheint, nach Vermuthung ‖ 13 στάσεως A ‖ 14 τὸ] τῷ H ‖ τὴν] τε Bartholin. ‖ τὴν vor συνν.] αὐτὴν H^{cfm} αὖ τὴν Martin ‖ 15 γίνεσθαι σύνευσιν H^{fm} ‖ ὄψεων A H^{cf} ‖ ᾖ] ἢ H^b ἡ H^m ‖ θεωρίας H^b ‖ 16 σκέπεται A^{dm} ‖ 16. 17 τῆς κόρης ἢ τοῦ ὁρωμένου fehlt in H und bei Dasyp. ‖ 17 ἢ τοῦ ὁρωμένου allein fehlt in A^p ‖ γίγνεται A^b ‖ 18 σημείου fehlt in A^d ‖ 19. 20 καταπαραλ(λλ A^f)ήλως A^{dfm} παρακαταλλήλους Bartholin. aus cod. Barb. I 131 ‖

12 τῷ τῆς ὄψεως αὐγοειδεῖ πνεύματι] vergl. Plut. Symp. quaest. I 8, 4 S. 626 C ἡμεῖς δὲ τὴν Πλατωνικὴν φυλάττοντες ἀρχὴν λέγομεν ὅτι πνεῦμα τῶν ὀμμάτων αὐγοειδὲς ἐκπίπτον ἀνακιρνᾶται τῷ περὶ τὰ σώματα φωτί u. s. w.; ebd. weiter unten: εἴτε ῥεῦμα χρὴ προσαγορεύειν τὸ διὰ τῆς κόρης φερόμενον εἴτε πνεῦμα φωτοειδὲς εἴτε αὐγήν. Vergl. Galen. de plac. Hipp. et Plat. VIII 4 (V 612 K, 610 Mueller) ὅτι ἐπ' ἐκείνων τῶν νεύρων αὐγοειδὲς φέρεται πνεῦμα u. s. w. vergl. III 642 K); de usu part. corp. XVI 3 (IV 275 K) τὸ τῆς ὄψεως ὄργανον αὐγοειδὲς ἔχειν πνεῦμα διὰ παντὸς ἐπιρρέον ἐξ ἐγκεφάλου; comm. in Hipp. prognost. I 23

wiederum setzt sie voraus, dass, was wir durch den Aether und die Luft sehen, in geraden Linien, was aber durch Gläser oder durchsichtige Membranen oder durch Wasser hindurchscheint, in gebrochenen Linien (Refraction), das aber, was in spiegelnden Gegenständen zur Erscheinung kommt, in zurückgeworfenen Linien (Reflexion) gesehen wird.

Die Optik beschäftigt sich nicht mit physikalischen Fragen, noch fragt sie, wenn von den Sehorganen Strahlen ausgehen, ob gewisse Ausflüsse sich nach der Aussenseite der (gesehenen) Körper hinbewegen, oder ob Bilder von den wahrgenommenen Gegenständen ausfliessen und in geradliniger Fortbewegung in das Innere der Sehorgane eindringen, oder ob die zwischen (dem Auge und dem gesehenen Gegenstand) liegende Luft mit dem strahlenartigen Hauch des Auges zugleich mit ausgedehnt und mit fortgetragen wird. Sie fragt vielmehr allein, ob unter jeder dieser Voraussetzungen die gerade Richtung der Bewegung oder Spannung und die Annahme gewahrt wird, dass, wenn sich das Schauen des Sehorgans auf grössere oder kleinere Gegenstände richtet, die Zuzammenziehung unter (oder 'gemäss der') Vereinigung (der Sehstrahlen) zu einem Winkel erfolgt ('et si, lorsqu'il s'agit d'expliquer les différentes grandeurs apparentes des objects, chacune de ces hypothèses respecte le principe d'après lequel la convergence a lieu suivant un angle' Martin). Und ganz besonders erwägt sie, dass von jedem Punkt der Pupille oder des gesehenen Gegenstandes aus das Sehbild sich (im Auge) bildet, nicht aber nur von einem bestimmten einzelnen Punkte aus, und zwar bald in einem nach innen convergirenden, bald in einem Winkel, welcher seine Spitze aussen hat, bald aber in Parallelen.

(XVIII 2 S. 72 K) *ὅτι τὸ πνεῦμα τὸ ὀπτικὸν αὐγοειδὲς ὂν ἑαυτῷ συνομοιοῖ τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς καὶ τῆς κόρης ὑγρὸν λεπτὸν καὶ καθαρὸν ὑπάρχον, ὁμοιότατον τῷ περιεχομένῳ κατὰ τὰ ὠά, ᾧ καὶ κατὰ τὰς* (τῆς Kalbfleisch) *ὀφθαλμίας χρώμεθα. δέδεικται δὲ ὅτι καὶ διὰ τούτου τοῦ ὑγροῦ φέρεται τὸ πνεῦμα κατὰ τὸ τῆς κόρης τρῆμα πρὸς τὸν ἀέρα τὸν ἐκτός, συμπαγὲς αὐτῷ γινόμενον. ἀλλὰ καὶ ὅτι τούτῳ τῷ ἀέρι συμφωτισθέντι χρῆται καθάπερ ὀργάνῳ συμφύτῳ, τοιούτῳ τὴν δύναμιν ὄντι, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρόν ἐστιν*; dazu J. von Mueller, Abh. d. Münchener Akad. I. Cl. XX. Bd. II. Abth. S. 473.

ὀπτικῆς μέρη λέγοιτο μὲν ἂν κατὰ τὰς διαφόρους ὕλας καὶ πλείω, τὰ δὲ γενικώτατα τρία· τὸ μὲν ὁμωνύμως τῷ ὅλῳ καλούμενον ὀπτικόν, τὸ δὲ κατοπτρικόν, τὸ δὲ σκηνογραφικόν. ⟨.....⟩. κατοπτρικὸν δὲ λέγεται ὁλοσχερέστερον μὲν τὸ περὶ τὰς ἀνακλάσεις τὰς ἀπὸ τῶν λείων, οὐ μόνον περὶ ἓν κάτοπτρον, ἔστι δ' ὅτε καὶ περὶ πλείω στρεφόμενον, ἔτι μὴν καὶ περὶ τὰ ἐν ἀέρι δι' ὑγρῶν ἐμφαινόμενα χρώματα, ὁποῖά ἐστι τὰ κατὰ τὰς ἴριδας. ἕτερον δὲ τὸ τε θεωροῦν τὰ συμβαίνοντα περὶ τὰς τοῦ ἡλίου ἀκτῖνας ἔν τε κλάσει καὶ φωτισμοῖς αὐτοῖς καὶ σκιαῖς· οἷον ὁποία τις ἡ διορίζουσα γραμμὴ τὴν σκιὰν ἐν ἑκάστῳ σχήματι γίνεται. καὶ τὸ περὶ τὰ πυρεῖα προσαγορευόμενον τὸ σκοποῦν περὶ τῶν κατὰ ἀνάκλασιν συνιουσῶν ἀκτίνων, αἳ κατὰ σύννευσιν ἀθρόαν τῆς τοῦ φωτὸς ἀνακλάσεως παρὰ τὴν ποιὰν κατασκευὴν τοῦ κατόπτρου εἰς ἓν συνιοῦσαι ἢ κατὰ γραμμὴν εὐθεῖαν ἢ κυκλοτερὲς ἐκπυροῦσί τινα τόπον. αὗται δ' αἱ θεωρίαι τὰς αὐτὰς ὑποθέσεις ἔχουσαι τῇ περὶ τὰς ὄψεις τὸν αὐτὸν ἐκείνῃ τρόπον ἐφοδεύονται. ὁποία γὰρ ἡ τῶν ὄψεων πρόπτωσις, τοιοῦτος καὶ ὁ καταφωτισμὸς ὑπὸ τοῦ ἡλίου γίνεται· καὶ τοτὲ μὲν κατ' εὐθείας ἀκλάστους, τοτὲ δὲ κατὰ διαδυομένας ὥσπερ ἐπὶ τῶν ὑέλων — κατακλώμεναι γὰρ καὶ

---

1 λέγοιντο A^{Pn} λέγονται A^{dfm} || 2 γενικώτερα H^{mf} || τὰ vor τρία hinzugefügt in H 'prima quidem quae unum et idem nomen habet quod et tota Optica et Perspectiva appellatur, seu Optica' Dasyp. || 4 καὶ κατοπτρικὸν μὲν λέγεται A^{P}. Vor diesen Worten ist vermuthlich eine Angabe über den Gegenstand der Optik im engeren Sinne ausgefallen (vergl. die zu Z. 2 abgedruckte Proclusstelle). Vielleicht sind die Sätze S. 22, 10—13 ein an falsche Stelle gerathener Rest dieser Angabe || 5 ἀνακλώσεις H^{b} || 6 ἀλλ' ἔστιν ὅτε A || 7 ἔτι] ὅτι H^{b} || μὴν] so A^{dfp} H^{bm}, die übrigen μὲν || περὶ fehlt in H || ἀέρι δι'] ἀέρισι H^{bm} (in H^{m} von zweiter Hand corrigirt) || 8 χρήματα H || 13 τὸ fehlt in H || 14 αἳ fehlt in A^{dm}; statt dessen in A^{b} (und cod. Barb. I 20) Lücke und die Bemerkung λείπει τι || 16 συνιοῦσα H || ἢ] καὶ A^{Pn}; fehlt in A^{bdf} || ἢ κυκλ.] αἱ κυκλοτερεῖς A (-εῖν A^{m}) || 17 δ' αἱ] δὴ A^{b} δ' fehlt in A^{f} || 18 τῇ] ταῖς A (τὰς A^{bm}) || τὸν] καὶ τὸν A^{n} || ἐκείναις A || 20 κατὰ φωτισμὸν A^{dfm} || 21 ποτὲ A^{P} || ποτὲ A^{P} || δὲ] δὲ καὶ A^{b} || 21. 22 κατὰ διαδυομένας] so A^{P}; alle übrigen Hss. καταδυομένας oder κατὰ δυομένας (δυομίας A^{m}) ||

---

2 ff. Procl. in Euclid. comm. S. 40, 9 Friedl. (aus Geminos) πάλιν ὀπτικὴ καὶ κανονικὴ γεωμετρίας εἰσὶ καὶ ἀριθμητικῆς ἔκγονοι, ἡ μὲν ταῖς ὄψεσι γραμμαῖς χρωμένη καὶ ταῖς ἐκ τούτων συνισταμέναις γωνίαις, διαιρουμένη δὲ εἴς τε τὴν ἰδίως καλουμένην ὀπτικήν, ἥτις τῶν ψευδῶς φαινομένων παρὰ τὰς ἀποστάσεις τῶν ὁρατῶν τὴν αἰτίαν ἀποδίδωσιν, οἷον τῆς τῶν παραλλήλων συμπτώσεως ἢ τῆς τῶν τετραγώνων ὡς

Theile der Optik könnte man nach den verschiedenen zu behandelnden Stoffen wohl noch mehrere nennen; die hauptsächlichsten aber sind drei: die ebenso wie das Ganze im engeren Sinne sogenannte Optik, die Katoptrik und die Lehre von der Skenographie ..... Katoptrik nennt man im allgemeineren Sinn die Lehre von der Zurückwerfung der Strahlen von glatten Gegenständen, eine Lehre, welche sich nicht nur mit je einem Spiegel, sondern auch mit der Verbindung mehrerer Spiegel beschäftigt; weiter aber auch mit den in der Luft durch Wassertheilchen entstehenden Farbenerscheinungen, dergleichen diejenigen der Regenbogen sind. Ein anderer Theil der Katoptrik untersucht die Vorgänge, welche in Bezug auf die Sonnenstrahlen sowohl bei ihrer Brechung als auch bei den Beleuchtungserscheinungen selbst und den Schatten sich zeigen; so untersucht er z. B., welche Form die den Schatten begrenzende Linie je nach der verschiedenen Gestalt der Körper annimmt. Weiter umfasst dieser Theil die sogenannte Lehre von den Brennspiegeln, welche sich mit den durch Reflexion sich vereinigenden Strahlen beschäftigt, die durch convergirende Sammlung des reflectirten Lichtes in Folge einer gewissen Einrichtung des Spiegels auf einen Punkt, sei es in gerader Linie, sei es in Kreisform(?) sich vereinigen und eine Stelle erhitzen. Diese Untersuchungen aber haben dieselben Voraussetzungen wie diejenige der Erscheinungen des Sehens und gehen deshalb auch auf demselben Wege vor. Denn in derselben Weise, wie die Ausstrahlung der Sehstrahlen, erfolgt auch die Beleuchtung durch die Sonne, und zwar bald in ungebrochenen geraden Linien, bald in Linien, welche Gegenstände durchdringen, wie bei den Gläsern — denn, wenn diese eine gewisse Gestalt erhalten,

---

κύκλων θεωρίας· καὶ εἰς τὴν κατοπτρικὴν σύμπασαν τὴν περὶ τὰς ἀνακλάσεις τὰς παντοίας πραγματευομένην καὶ τῇ εἰκαστικῇ γνώσει συμπλεκομένην· καὶ τὴν λεγομένην σκηνογραφικὴν δεικνῦσαν, πῶς ἂν τὰ φαινόμενα μὴ ἄρυθμα ἢ ἄμορφα φαντάζοιτο ἐν ταῖς εἰκόσι παρὰ τὰς ἀποστάσεις καὶ τὰ ὕψη τῶν γεγραμμένων. Vergl. Anatol. bei Hultsch Heronis reliqu. S. 277, 17 *ἔτι δὲ ἐπισκεπτικὸς* (sc. *ὀφείλει εἶναι ὁ μαθηματικὸς*) *τῶν κατὰ τὰς ὄψεις παθῶν, ἐρευνῶν τὰς αἰτίας δι' ἃς* |*καὶ*| *οὐχ ὁποῖα καὶ* (*ὁ*)*πηλίκα τὰ ὑποκείμενα, τοιαῦτα καὶ τηλικαῦτα ἐκ παντὸς διαστήματος θεωρεῖται, τηροῦντα μὲν τοὺς πρὸς ἄλληλα λόγους, ψευδεῖς δὲ φαντασίας καὶ τῆς θέσεως καὶ τῆς τάξεως ἐμποιοῦντα, τοῦτο μὲν κατ' οὐρανὸν καὶ ἀέρα, τοῦτο δ' ἐν κατόπτροις καὶ πᾶσι τοῖς λείοις κἀν τοῖς διαφανέσι δὲ τῶν ὁρωμένων* (*ὑμένων* oder *ὑέλων*?) *καὶ τοιουτοτρόποις σώμασιν.*

εἰς ἓν συννεύουσαι ἐξάπτουσι παρὰ τὰ ποιὰ σχήματα — τοτὲ δὲ κατὰ ἀνάκλασιν, ὥσπερ οἱ ἀχιλλεῖς φαίνονται ἐπὶ τῶν ὀροφῶν· ὥς τ' ἀπὸ πάσης τῆς ὄψεως ἡ θεωρία, καὶ ἀπὸ παντὸς μέρους τοῦ ἡλίου ὁ φωτισμὸς γίνεται.

ἡ δ' ἐπὶ τῶν ὑδάτων καὶ τῶν ὑμένων τὰ κατὰ διάδυσιν θεωροῦσα ὀπτικὴ ἐλάττω μὲν θεωρίαν ἔχει, αἰτιολογεῖ δὲ τὰ ὑπὸ τοῖς ὕδασι καὶ ὑμέσι καὶ ὑέλοις, ὁπότε διασπαραττόμενα φαίνεται τὰ ἡνωμένα καὶ σύνθετα τὰ ἁπλᾶ καὶ τὰ ὀρθὰ κεκλασμένα καὶ τὰ μένοντα κινούμενα.

Τί τὸ σκηνογραφικόν.

τὸ σκηνογραφικὸν τῆς ὀπτικῆς μέρος ζητεῖ πῶς προσήκει γράφειν τὰς εἰκόνας τῶν οἰκοδομημάτων. ἐπειδὴ γὰρ οὐχ οἷα [τε] ἔστι τὰ ὄντα, τοιαῦτα καὶ φαίνεται, σκοποῦσιν πῶς μὴ τοὺς ὑποκειμένους ῥυθμοὺς ἐπιδείξονται, ἀλλ' ὁποῖοι φανήσονται ἐξεργάσονται. τέλος δὲ τῷ ἀρχιτέκτονι τὸ πρὸς φαντασίαν εὔρυθμον ποιῆσαι τὸ ἔργον καὶ ὁπόσον ἐγχωρεῖ πρὸς τὰς τῆς ὄψεως ἀπάτας ἀλεξήματα ἀνευρίσκειν οὐ τῆς κατ' ἀλήθειαν ἰσότητος ἢ εὐρυθμίας, ἀλλὰ τῆς πρὸς ὄψιν στοχαζομένῳ. οὕτω γοῦν τὸν μὲν κυλινδρ⟨ικ⟩όν

---

1 *παρὰ*] *περὶ* A || *σχήματα* fehlt in A^b || 2 *ποτὲ* A^P || 3 *ὥστ' ἀπὸ* A (nur A^b hat *ὡς τὰ ἀπὸ*); *ὥστε ἡ* H || *τῆς* fehlt in A^P || *ἡ* fehlt in H || 5 *δὲ* A || *διάδυον* H (doch *διάδυσι* H^m) || 7 *ὑπό*] *ἐν* H^m A || *ὑάλοις* H^{bc} || 8 *τὰ ἁπλᾶ*] *καὶ ἁπλᾶ* A^b || 10 die Überschrift fehlt in A und bei Dasyp. || 11 *τὸ*] *τὸ δὲ* A^P || *ζητῶν* A^{bf} || 12 *τὰς εἰκόνας γράφειν* A || *ἢ ἐπειδὴ γὰρ* A^{dfm}; ohne *γὰρ* H || 13 *καὶ* fehlt in A || *φαίνεσθαι* A^{dm} || *σκοποῦσιν*] *ποιοῦσι* A^b; fehlt in H || 13. 14. 15 'docet etiam quomodo aptitudines (*συμμετρίαι*?) et rythmos qui in aedificationibus non sunt esse tamen videantur' Dasyp. || 14 *ἐπιδείξονται* A^P (und cod. Barb. I 20; aber Bartholinus hat *ἐπιδείξονται*) || 15 *ἐξεργάσονται*] über o von derselben Hand *ω* in A^F; *ἐξεργάζονται* A^b; fehlt in H (auch in H^b, wie Martin richtig angiebt) und bei Dasyp. || 16 'opus extruere quod ad speciem et imaginationem concinnum sit et sibi conveniens' Dasyp. || 17 *ὁπόσον* H^{efm} || 18 *κατὰ* A || 19 *στοχαζομένης* A || *τὸν*] *τὰ* A^b || *κύλινδρον* H A ||

---

2 *ἀχιλλεῖς*] von J. G. Schneider Ecl. Phys. II S. 214 überzeugend erläutert durch den Hinweis auf Apoll. Rh. III 756 *ἠελίου ὥς τίς τε δόμοις ἐνιπάλλεται αἴγλη | ὕδατος ἐξανιοῦσα, τὸ δὴ νέον ἠὲ λέβητι | ἠέ που ἐν γαυλῷ*

werden jene gebrochen und auf einen Punkt vereinigt und zünden —, bald durch Reflexion, wie z. B. die Sonnenreflexe sich an den Decken zeigen. Und wie von dem gesammten Sehorgan das Sehen, so geht von jedem Theil der Sonne die Lichtgebung aus.

Die Optik, insofern sie sich mit den Erscheinungen des Durchgangs (des Lichtes) beim Wasser und den Membranen beschäftigt, gewährt weniger zusammenhängende Theorie, sondern sucht eine Erklärung für die unter Wasser, Membranen oder Gläsern befindlichen Gegenstände, insofern an ihnen das Einheitliche zerrissen, das Einfache zusammengesetzt, das Gerade gebrochen und das Ruhende in Bewegung erscheint.

Was ist Skenographie?

Der skenographische Theil der Optik fragt, wie man die Ansichten von Gebäuden zu zeichnen hat. Denn da die Dinge nicht so, wie sie wirklich sind, auch erscheinen, so sieht man zu, wie man nicht sowohl die zum Grunde liegenden (von der Theorie geforderten) Verhältnisse darstellen, sondern diese so, wie sie erscheinen werden, gestalten kann. Denn die Aufgabe des Architekten ist, sein Werk in den Verhältnissen wohlgefällig für die Erscheinung und soweit möglich für die Täuschungen des Auges Heilmittel ausfindig zu machen und nicht nach der wirklichen, sondern nach der für das Auge als solche erscheinenden Gleichheit und

---

κέχυται· ἡ δ' ἔνθα καὶ ἔνθα | ὠκείῃ στροφάλιγγι τινάσσεται ἀίσσουσα und das Scholion zu dieser Stelle. Wenn er angiebt, dass in dem letzteren das Wort *ἀχιλλεῖς* stehe, so scheint ein Versehen vorzuliegen; in den gedruckten Scholien kommt es nicht vor und wird auch von Schneider im Lex. u. d. W. nicht daraus angeführt. Richtig verstanden hat die Stelle auch Dasypodius: 'ut in laquearibus apparent tremuli splendores'. In anderer Bedeutung *ἀχιλλεύς* bei Procop. de bello Vand. I 13 S. 368 Dind.

9 *τὰ ὀρθὰ κεκλασμένα*] Diog. Laert. IX 85 *τὰ ὀρθὰ κεκλασμένα φαίνεται*. Gemeint ist wohl das im Wasser gebrochen erscheinende Ruder: Lucret. IV 438—442; Cic. Lucull. VII 19; Vitruv. VI 2, 2; Seneca Qu. Nat. I 3, 9; Plut. adv. Col. 25 S. 1121 A; Ptolemaeus Opt. II S. 50 Govi; Sext. Emp. S. 28, 10; 244, 10 Bkk.; Aetius bei Diels Doxogr. S. 372[a] 24, [b] 24; Epiphanius ebd. S. 590, 28; Tertullian. de anima 17 S. 323, 14; 324, 12 Reiff.

τὰ μένοντα κινούμενα] d. i. Gegenstände, welche unter bewegtem Wasser liegen und sich zu bewegen scheinen; s. Ptolem. opt. II S. 51 Govi. 13 ff. Zu dem Folgenden vergl. Philo mech. synt. IV S. 50, 45—51, 11.

κίονα ἐπεὶ κατεαγότα ἔμελλε θεωρήσειν κατὰ μέσον πρὸς ὄψιν στενούμενον, εὐρύτερον κατὰ ταῦτα ποιεῖ· καὶ τὸν μὲν κύκλον ἔστιν ὅτε οὐ κύκλον γράφει, ἀλλ' ὀξυγωνίου κώνου τομήν, τὸ δὲ τετράγωνον προμηκέστερον καὶ τοὺς πολλοὺς καὶ μεγέθει διαφέροντας κίονας ἐν ἄλλαις ἀναλογίαις κατὰ πλῆθος καὶ μέγεθος. τοιοῦτος δ' ἐστὶ λόγος καὶ τῷ κολοσσοποιῷ διδοὺς τὴν φανησομένην τοῦ ἀποτελέσματος συμμετρίαν, ἵνα πρὸς τὴν ὄψιν εὔρυθμος εἴη, ἀλλὰ μὴ μάτην ἐργασθείη κατὰ τὴν οὐσίαν σύμμετρος. οὐ γὰρ οἷα ἔστι τὰ ἔργα, τοιαῦτα φαίνεται ἐν πολλῷ ἀναστήματι τιθέμενα.

2. 3 καὶ τὸν μὲν] τὸν δὲ A^p || 3 οὐ fehlt H A^{dm} || ὀξυγώνιον A^n ἐξυγώνιον H^m ἐξαγώνιον H^f; die übrigen scheinen alle ὀξυγωνίου zu haben || ὃ ἐν] σὺν $H^{ef m}$ || 6 δέ ἐστι A H^{ef} (in H^e über é von derselben Hand η) || 8 τὴν] fehlt bei Martin, vielleicht aus Versehen || 9 τὴν] fehlt in $H^{b e m}$ ||

3 ὀξυγωνίου κώνου τομὴν] gemeint ist unter dieser von Aristaeus herrührenden Bezeichnung die Ellipse, s. Pappus VI 30 S. 672, 20ff. Hu. Bei Hero Defin. 95 S. 27, 3 Hu. heisst sie ὀξυγώνιος κώνου τομή.

Wohlgefälligkeit der Verhältnisse zu streben. So macht er die cylindrische Säule, da sie sich für das Auge in der Mitte verjüngt und er sie deshalb gebrochen sehen würde, an dieser Stelle dicker, und den Kreis zeichnet er zuweilen nicht als Kreis, sondern als Ellipse und das Quadrat als ein gestrecktes Viereck und eine grössere Zahl von verschieden grossen Säulen je nach Zahl und Grösse in verschiedenen Verhältnissen. Eine solche Rechnung aber ist es, welche dem Verfertiger eines Kolossalwerkes die künftig zur Erscheinung kommenden Verhältnisse seines Werkes an die Hand giebt, damit es für den Anblick wohlgefällig und nicht vergeblich in thatsächlich correcten Verhältnissen ausgeführt werde. Denn die Werke erscheinen, wenn sie in grosser Höhe aufgestellt werden, nicht so, wie sie wirklich sind.

Digitized by Google

Digitized by Google

Digitized by Google

UNIVERSITY OF CHICAGO
19 441 975

PA 3998
.H21 S36
1897

CLASSICS LIBRARY

U of Chicago
19441975

Digitized by Google